ἐπιθυμοῦσιν, τοῦτο δοκεῖ ἥδιστον εἶναι· τὸ δὲ A καθ' αὑτὸ, οὐκέτι οὕτως. σημεῖον δὲ τούτου· δοκοῦσι γὰρ ἡμῖν καὶ ἄνδρες καλοὶ εἶναι, πρὸς τὴν συνουσίαν βλέψασιν. ἆρ' οὖν οὕτως, ὥστε καὶ ἥδιον ὁρᾶν μᾶλλον τῆς εἰς συνουσίαν, οὐδέν γε κωλύει, εἰ μὴ ἐπιθυμοῦντες τύχοιμεν. οὕτω δὲ πόμα κάλλιον. εἰ γὰρ διψῶντες τύχοιμεν, ἥδιον ὀψόμεθα.

μς Διὰ τί ποτε τοῦ μὲν ἀνθρώπου τὰ ἔμπροσθεν δασύτερα τῶν ὄπισθέν ἐστι, τῶν B δὲ τετραπόδων τὰ ὄπισθεν; ἢ ὅτι πάντα τὰ δίποδα, τὰ ἔμπροσθεν ἔχει δασύτερα; οἱ γὰρ ὄρνιθες τὸν αὐτὸν τρόπον τοῖς ἀνθρώποις ἔχουσιν. ἢ τὰ ἀσθενέστερα μᾶλλον ἀεὶ σκεπάζειν ἡ φύσις εἴωθεν; ἀσθενὲς δὲ ἕκαστόν ἐστι τινὰ τρόπον· τῶν δὲ τετραπόδων ἁπάντων, τὰ ὄπισθεν ἀσθενέστερά ἐστι τῶν ἔμπροσθεν, διὰ τὸν τόπον. ὑπὸ γὰρ τῶν C ψυχῶν καὶ καυμάτων, μᾶλλον δυνατά ἐστι πάσχειν· τῶν δὲ ἀνθρώπων τὰ ἔμπροσθεν ἀσθενέστερά ἐστι, καὶ τὸ αὐτὸ πέπονθεν. μζ Διὰ τί ἄνθρωπος τῶν ζῴων μᾶλλον πτάρνυται; ἢ ὅτι καὶ κορυζᾷ μάλιστα; τούτου δ' αἴτιόν ἐστιν, ὅτι τοῦ θερμοῦ ὄντος περὶ τὴν καρδίαν, καὶ πεφυκότος ἄνω φέρεσθαι, τοῖς μὲν ἄλλοις ζῴοις, ἡ κατὰ φύσιν αὐτοῦ φορά ἐστιν ἐπὶ τοὺς ὤμους· D ἐντεῦθεν δὲ ἐξ ἀνακλάσεως σχιζόμενον, τὸ μὲν, ἐπὶ τὸν τράχηλον καὶ τὴν κεφαλὴν φέρεται αὐτοῦ· τὸ δὲ, εἰς τὴν ῥάχιν καὶ τὴν ὀσφῦν, διὰ τὸ ἐπὶ τῆς αὐτῆς εὐθείας εἶναι πάντα ταῦτα καὶ παρὰ τὴν βάσιν. φερόμενον δὲ ὁμοίως τὸ σῶμα, καὶ τὰ ὑγρὰ μερίζει εἰς αὐτὰ ὁμαλῶς. ἕπεται γὰρ τὰ ὑγρὰ τῷ θερμῷ. διὸ οὐδὲ πάνυ κορυζᾷ τὰ τετρά- E ποδα ζῷα, οὐδὲ πτάρνυται. ὁ γὰρ πταρμὸς, ἢ πνεύματος ἀθρόου φορά ἐστιν, ὑγρῶν ἐξατμιζόντων τι μᾶλλον τοῦ σώματος, ἢ ὑγρῶν ἀπέπτων. διὸ πρὸ τῶν καταῤῥῶν γίνεται, ὃ [δ] συμβαίνει τοῖς ἄλλοις ζῴοις, διὰ τὸ τὴν τοῦ θερμοῦ φορὰν ὁμαλίζειν [ἐν] αὐτῷ εἰς τὸ πρόσθεν καὶ ὄπισθεν· τοῦ δὲ ἀνθρώπου πρὸς ὀρθὴν πεφυκότος τῇ βάσει, καθάπερ τὰ φυτά, F συμβαίνει τοῦ θερμοῦ φορὰν ἐπὶ τὴν κεφαλὴν γίνεσθαι πλείστην καὶ σφοδροτάτην· φερόμενόν τε ἐνταῦθα, ἀραιοῖ καὶ θερμαίνει τοὺς περὶ αὐτὴν πόρους. ὄντες δὲ τοιοῦτοι, δεκτικοὶ γίνονται τῶν ὑγρῶν μᾶλλον, ἢ οἱ κάτω τῆς καρδίας πόροι. ὅταν οὖν συμβῇ ἐξυγρανθῆναι μᾶλλον τοῦ δέοντος καὶ καταψυχῆναι, ἔξωθεν συμβαίνῃ

cupere ſolemus, ſuauiſſimū id eſſe ipſum videtur. Quod autem per ſe tale eſt, non prætereà ſic eſſe videbitur. Argumentum, quod adoleſcentuli pleriq. formoſi, aptiq. nobis eſſe videbuntur, cùm ad concūbendi vſum reſpeximus. Nunquid igitur ita, vt etiā plus geſtiamus, quàm ſi deformes quoſdam intueamur? Nō hercle, niſi eorū auidi ſumus: quo modo potio quoque videtur pulchrior. Nam ſi ſiti detinemur, humorē multo ſuauiùs aſpiciemus. 52 Cur hominis prior pars piloſior, quàm poſterior eſt: quadrupedū cōtrà poſterior, quàm prior, ſetoſior? An quod omne animal bipes partem priorē habet piloſiorem: nam aues quoq. eodem modo, quo homines, ſe habent. An partes infirmiores natura ſemper integere potius conſueuit: infirmū autē vnūquodq. loco ſui corporis aliquo eſt. Quadrupedū vero omniū partes poſteriores, infirmiores loci cauſa ſunt, quàm priores: affici nanque à frigore æſtúq. amplius poſſunt. Hominū priores infirmiores ſunt, incommodiſq. illis eiſdē opportuniores.

53 Cur animantiū homo maximè ſoleat ſternutare? An quod etiam grauedine maximè homo teneatur. Cuius rei cauſa eſt, quod calor, qui circa cor eſt, ſurſúmq. ſua natura effertur cæteris animantibus in armos ſe effert, vnde per refractionem diſſectus, partim ceruicem capútque petit, partim in ſpinam lumbóſque defertur: hæc enim linea recta, iuxtáque baſim ſita omnia ſunt. Quod cùm æquè corpus penè totum recaleſcat, humores quoque in ſeſe pariter digerit, planéque partitur: humores enim calorem ſequuntur. Ex quo fit, vt neque à grauedine admodum infeſtari neque ſternutare quadrupedes ſoleant. Sternutamentum enim, vel ſpiritus vniuerſi delatio eſt, humore ſcilicet plus aliquid exhalāte, vel crudi humoris conatus, excurſúſque. Quocirca deſtillationes ſolet præcedere, quæ quidem animantibus cæteris minimè incidunt, eo quod caloris illa delatio, antè, retróque portionibus æquis ſe digerit. Homini vero, quod erecta baſi ſe in ſublime, modo ſtirpiū, attollit, euenit, vt caloris elatio plurima, & vehemētiſſima caput adeat: elatúſque eo calor, meatus cōcalfacit, rarefacítq. capitis, qui tales demum effecti, nimirum capaciores humorum, quàm meatus cordis inferiores redduntur. Quoties itaque accidit, vt caput humeſcat, refrigeretúrq. extrinſecus amplius, quàm ſatis ſit, effici-